τοῦτο. οὐκοῦν καὶ οἱ τοῦτο παραβαίνοντες δίκην διδόασι, φίλων μὲν ἀγαθῶν ἔρημοι γιγνόμενοι, τοὺς δὲ μισοῦντας ἑαυτοὺς ἀναγκαζόμενοι διώκειν. ἢ οὐχ οἱ μὲν εὖ ποιοῦντες τοὺς χρωμένους ἑαυτοῖς, ἀγαθοὶ φίλοι εἰσὶν, οἱ δὲ μὴ ἀντευεργετοῦντες τοὺς τοιούτους, διὰ μὲν τὴν ἀχαριστίαν μισοῦνται ὑπ᾽ αὐτῶν, διὰ δὲ τὸ μάλιστα λυσιτελεῖν τοῖς τοιούτοις χρῆσθαι, τούτους μάλιστα διώκουσι; ¶ Νὴ τὸν Δία, ὦ Σώκρατες, ἔφη, θείοις ταῦτα πάντα ἔοικε· τὸ γὰρ τοὺς νόμους αὐτοὺς τοῖς παραβαίνουσι τὰς τιμωρίας ἔχειν, βελτίονος ἢ κατ᾽ ἄνθρωπον νομοθέτου δοκεῖ μοι εἶναι. ¶ Πότερον οὖν, 25
ὦ Ἱππία, τοὺς θεοὺς ἡγῇ τὰ δίκαια νομοθετεῖν, ἢ ἄλλα τῶν δικαίων; ¶ Οὐκ ἄλλα μὰ Δί᾽, ἔφη. σχολῇ γὰρ ἂν ἄλλος γέ τις τὰ δίκαια νομοθετήσειεν εἰ μὴ θεός. ¶ Καὶ τοῖς θεοῖς ἄρα, ὦ Ἱππία, τὸ αὐτὸ δίκαιόν τε καὶ νόμιμον εἶναι ἀρέσκει. Τοιαῦτα λέγων τε καὶ πράττων δικαιοτέρους ἐποίει τοὺς πλησιάζοντας.

θείοις] Ita pro vulgato θεοῖς Brodaeus et Stephanus coniiciunt, et sic est in MS. 1. Reiskius vult legi θείοις θεσμοῖς. Sed melius, *inquit Hindeburgius*, videtur retinere θεοῖς, quia sequitur βελτίονος ἢ κατ᾽ ἄνθρωπον νομοθέτου. Ἔοικε θεοῖς, *Deos decet, diis convenit, diis digna sunt*, vt I, 3, 3 καλῶς ἔχει θεοῖς. *Z.* At sensus hic est: haec omnia diuinum opus aliquod arguunt, diuinam prudentiam. Igitur ex Codice rectum θείοις restitui.

ταῦτα πάντα] Stob. πάντα ταῦτ᾽.

νόμους αὐτοὺς] Ibid. νόμους αὐτοῖς, male.